[25]καὶ σύ, υἱὲ ἀνθρώπου, ἰδοὺ δέδονται ἐπὶ σὲ δεσμοί, καὶ δήσου- 25
σίν σε ἐν αὐτοῖς, καὶ οὐ μὴ ἐξέλθῃς ἐκ μέσου αὐτῶν. [26]καὶ τὴν 26
γλῶσσάν σου συνδήσω, καὶ ἀποκωφωθήσῃ καὶ οὐκ ἔσῃ αὐτοῖς
εἰς ἄνδρα ἐλέγχοντα, διότι οἶκος παραπικραίνων ἐστίν. [27]καὶ ἐν 27
τῷ λαλεῖν με πρὸς σὲ ἀνοίξω τὸ στόμα σου, καὶ ἐρεῖς πρὸς αὐ-
τούς Τάδε λέγει κύριος Ὁ ἀκούων ἀκουέτω, καὶ ὁ ἀπειθῶν ἀπει-
θείτω, διότι οἶκος παραπικραίνων ἐστίν.
[1]Καὶ σύ, υἱὲ ἀνθρώπου, λαβὲ σεαυτῷ πλίνθον καὶ θήσεις αὐτὴν 4
πρὸ προσώπου σου καὶ διαγράψεις ἐπ᾽ αὐτὴν πόλιν τὴν Ιερουσα-
λημ [2]καὶ δώσεις ἐπ᾽ αὐτὴν περιοχὴν καὶ οἰκοδομήσεις ἐπ᾽ αὐτὴν 2
προμαχῶνας καὶ περιβαλεῖς ἐπ᾽ αὐτὴν χάρακα καὶ δώσεις ἐπ᾽ αὐτὴν
παρεμβολὰς καὶ τάξεις τὰς βελοστάσεις κύκλῳ· [3]καὶ σὺ λαβὲ σε- 3
αυτῷ τήγανον σιδηροῦν καὶ θήσεις αὐτὸ τοῖχον σιδηροῦν ἀνὰ
μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς πόλεως καὶ ἑτοιμάσεις τὸ πρόσωπόν
σου ἐπ᾽ αὐτήν, καὶ ἔσται ἐν συγκλεισμῷ, καὶ συγκλείσεις αὐτήν·
σημεῖόν ἐστιν τοῦτο τοῖς υἱοῖς Ισραηλ. — [4]καὶ σὺ κοιμηθήσῃ ἐπὶ 4
τὸ πλευρόν σου τὸ ἀριστερὸν καὶ θήσεις τὰς ἀδικίας τοῦ οἴκου
Ισραηλ ἐπ᾽ αὐτοῦ κατὰ ἀριθμὸν τῶν ἡμερῶν πεντήκοντα καὶ ἑκα-
τόν, ἃς κοιμηθήσῃ ἐπ᾽ αὐτοῦ, καὶ λήμψῃ τὰς ἀδικίας αὐτῶν. [5]καὶ 5
ἐγὼ δέδωκά σοι τὰς δύο ἀδικίας αὐτῶν εἰς ἀριθμὸν ἡμερῶν ἐνε-
νήκοντα καὶ ἑκατὸν ἡμέρας. καὶ λήμψῃ τὰς ἀδικίας τοῦ οἴκου
Ισραηλ [6]καὶ συντελέσεις ταῦτα πάντα· καὶ κοιμηθήσῃ ἐπὶ τὸ πλευ- 6
ρόν σου τὸ δεξιὸν καὶ λήμψῃ τὰς ἀδικίας τοῦ οἴκου Ιουδα τεσ-
σαράκοντα ἡμέρας. ἡμέραν εἰς ἐνιαυτὸν τέθεικά σοι. [7]καὶ εἰς τὸν 7
συγκλεισμὸν Ιερουσαλημ ἑτοιμάσεις τὸ πρόσωπόν σου καὶ τὸν
βραχίονά σου στερεώσεις καὶ προφητεύσεις ἐπ᾽ αὐτήν. [8]καὶ ἐγὼ 8
ἰδοὺ δέδωκα ἐπὶ σὲ δεσμούς, καὶ μὴ στραφῇς ἀπὸ τοῦ πλευροῦ
σου ἐπὶ τὸ πλευρόν σου, ἕως οὗ συντελεσθῶσιν αἱ ἡμέραι τοῦ
συγκλεισμοῦ σου. — [9]καὶ σὺ λαβὲ σεαυτῷ πυροὺς καὶ κριθὰς καὶ 9
κύαμον καὶ φακὸν καὶ κέγχρον καὶ ὄλυραν καὶ ἐμβαλεῖς αὐτὰ εἰς
ἄγγος ἓν ὀστράκινον καὶ ποιήσεις αὐτὰ σαυτῷ εἰς ἄρτους, καὶ
κατ᾽ ἀριθμὸν τῶν ἡμερῶν, ἃς σὺ καθεύδεις ἐπὶ τοῦ πλευροῦ σου,
ἐνενήκοντα καὶ ἑκατὸν ἡμέρας φάγεσαι αὐτά. [10]καὶ τὸ βρῶμά σου, 10
ὃ φάγεσαι, ἐν σταθμῷ εἴκοσι σίκλους τὴν ἡμέραν· ἀπὸ καιροῦ
ἕως καιροῦ φάγεσαι αὐτά. [11]καὶ ὕδωρ ἐν μέτρῳ πίεσαι τὸ ἕκτον 11
τοῦ ιν· ἀπὸ καιροῦ ἕως καιροῦ πίεσαι. [12]καὶ ἐγκρυφίαν κρίθινον 12

25 ου] pr. συ A† | εκ μεσου] εξ A† || 27 κυριος B†] + κυριος A: cf. 2 4 | απειθειτω] -θετω(sic) AC, -θητω V

4 4 εκατον] + ημερας A || 6 ταυτα] αυτα A(†) | παντα] > B, in *O* sub ÷ || 7 τον 1⁰ > A || 8 εγω ιδου] tr. A | μη] pr. ου A | σου 2⁰ > A*† | αι > BQ† || 10 ο > B† | σταθμιω A† | ημεραν] + φαγεσαι A | εως] pr. και A